λέοντες Ἕλλανες δύο διδύμω·
τῷ μὲν ὁ στρατηλάτας πατὴρ ἐκλῄζετο,
ὁ δὲ παῖς Στροφίου, κακομήτας ἀνήρ,
οἷος Ὀδυσσεύς, σιγᾷ δόλιος,
πιστὸς δὲ φίλοις, θρασὺς εἰς ἀλκάν,
ξυνετὸς πολέμου, φόνιός τε δράκων.
ἔρροι τᾶς ἡσύχου προνοί-
ας κακοῦργος ὤν.
οἳ δὲ πρὸς θρόνους ἔσω
μολόντες ἃς ἔγημ᾽ ὁ τοξότας Πάρις
γυναικός, ὄμμα δακρύοις
πεφυρμένοι, ταπεινοὶ
ἕζονθ᾽, ὃ μὲν τὸ κεῖθεν, ὃ δὲ
τὸ κεῖθεν, ἄλλος ἄλλοθεν πεφραγμένοι.
περὶ δὲ γόνυ χέρας ἱκεσίους
ἔβαλον ἔβαλον Ἑλένας ἄμφω.
ἀνὰ δὲ δρομάδες ἔθορον ἔθορον
ἀμφίπολοι Φρύγες·
προσεῖπε δ᾽ ἄλλος ἄλλον πεσὼν ἐν φόβῳ,
μή τις εἴη δόλος.
κἀδόκει τοῖς μὲν οὔ,
τοῖς δ᾽ ἐς ἀρκυστάταν
μηχανὰν ἐμπλέκειν
παῖδα τὴν Τυνδαρίδ᾽ ὁ
μητροφόντας δράκων.
ΧΟ. σὺ δ᾽ ἦσθα ποῦ τότ᾽; ἢ πάλαι φεύγεις φόβῳ;
ΦΡ. Φρυγίοις ἔτυχον Φρυγίοισι νόμοις
παρὰ βόστρυχον αὔραν αὔραν
Ἑλένας Ἑλένας εὐπᾶγι κύκλῳ
πτερίνῳ πρὸ παρηίδος ᾄσσων
βαρβάροισι νόμοισιν.
ἁ δὲ λίνον ἠλακάτᾳ
δακτύλοις ἕλισσε,

---

1403. ἀνήρ om. Ec *C* 1406. πολέμῳ *C* 1414. χέρας] Kingius, χεῖρας libri. 1426. φρυγίοις *C* 1428. εὐπᾶγι] Hermannus, εὐπαγεῖ vel εὐπηγεῖ libri.